www.tezaurliturgic.ro



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
καὶ οἱ
# ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

Εἰς τὴν ΜΕΤΑΜΟΡΦΩΣΙΝ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

www.tezaurliturgic.ro

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
καὶ οἱ
# ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

## Εἰς τὴν θείαν καὶ ἔνδοξον ΜΕΤΑΜΟΡΦΩΣΙΝ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ἔκδοσις
Ἱερᾶς Μονῆς Παντοκράτορος
Ἅγιον Ὄρος 1998

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τήν θείαν καί ἔνδοξον
ΜΕΤΑΜΟΡΦΩΣΙΝ
τοῦ Κυρίου καί Θεοῦ καί
Σωτῆρος ἡμῶν
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ποίημα Ἰακώβου Μοναχοῦ

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

### Ἀπολυτίκιον
Ἦχος δ΄
Ταχὺ προκατάλαβε...

Χριστοῦ τὴν Μεταμόρφωσιν, προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες, τὰ προεόρτια, πιστοί καὶ βοήσωμεν· ἔφθασεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ ὄρος, τὸ Θαβὼρ ὁ Δεσπότης, τῆς Θεότητος Αὐτοῦ ἀπαστράψαι τὴν ὡραιότητα.

### Κοντάκιον
Ἦχος δ΄
Ἐπεφάνης σήμερον...

Ἐν τῇ θείᾳ σήμερον, Μεταμορφώσει, ἡ βροτεία ἅπασα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα· Μεταμορφοῦται, Χριστὸς σώζων ἅπαντας.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος Χριστοῦ
16ος αἰών, Χεὶρ Θεοφάνους τοῦ Κρητός.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

## Ἀπολυτίκιον
### Ἦχος βαρὺς

Μετεμορφώθης ἐν τῷ Ὄρει, Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο· Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου· Φωτοδότα, δόξα σοι.

## Κοντάκιον
### Ἦχος βαρὺς

Ἐπὶ τοῦ Ὄρους μεταμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

*Εἰς τὴν θείαν καὶ ἔνδοξον Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν*

*ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ*

*Ὁ Ἱερεύς:*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ ἀναγνώστης:* Ἀμήν.

*Ψαλμός ρμβ΄ (142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖρας μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σου εἰμί.

*Εὐθὺς ψάλλομεν εἰς ἦχον δ΄.*

*ἀρχομένου τοῦ α΄ χοροῦ ἐναλλὰξ μετὰ τοῦ β΄.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (δ΄)



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Εἶτα τὰ παρόντα Τροπάρια:*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...*

Τῷ τοῦ Σωτῆρος νῦν τεμένει προσδάμωμεν, Μεταμορφώσεως αὐτοῦ καὶ προσπέσωμεν, μετ᾽ εὐλαβείας κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποτα βοήθησον, σπλαγχνισθεὶς τοῖς Σοῖς δούλοις, φόβῳ Σοι προσπίπτουσι, καὶ πταισμάτων τὴν λύσιν, καὶ σωτηρίαν βράβευσον ψυχῶν, τῶν Σοῦ τιμώντων, φρικτὴν Μεταμόρφωσιν.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

*Ἦχος βαρύς. Ἀπολυτίκιον*

Οἱ ὑπὸ πλείστων ὀδυνῶν πιεζόμενοι, καὶ πειρασμῶν ἀλλεπαλλήλων θλιβόμενοι, δεῦτε Ναῷ προσπέσωμεν πιστῶς ἀδελφοί, τῆς Μεταμορφώσεως, τοῦ Σωτῆρος βοῶντες· Σῶτερ ἐξελοῦ ἡμᾶς, ἐκ παντοίων κινδύνων, ταῖς ἱκεσίαις Σοῦ τῶν Προφητῶν, καὶ τῶν πανσόφων, Χριστὲ Ἀποστόλων Σου.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

*Θεοτοκίον. Ὅμοιον.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Τῆς μετανοίας Θεοτόκε τὴν τρίβον, ἡμᾶς ἐνίσχυσον ὁδεύειν προθύμως, τοὺς τὴν σεπτὴν Εἰκόνα Σου τιμῶντας σεπτῶς, Δέσποινα καὶ λύτρωσαι, ἐκ δεινῶν συμπτωμάτων, πάσης τε κακώσεως, δυσμενῶν ἀοράτων, καὶ ὁρατῶν παντοίων Ἀγαθή· πρὸς Σὲ γὰρ πάντες, ἀεὶ καταφεύγομεν.

*Ὁ Ἀναγνώστης: Ψαλμός ν΄ (50)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμα Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

*Καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς*
*κατ᾽ ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις: Ἰακώβου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄.*
*Ὑγρὰν διοδεύσας...*

*Ὁ α΄ χορός:*

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν Δόξα Σοι.***



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ἀνύψωσας φύσιν τὴν τῶν βροτῶν, ἀναβὰς ἐν ὄρει, Θαβωρίῳ θεοπρεπῶς· διὸ τοὺς εἰς βάθη ἐμπεσόντας, ἁμαρτιῶν ἡμᾶς Σῶτερ ἀνάστησον.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν Δόξα Σοι.***

Βαράθρων τοῦ Ἅδου ἡμᾶς Σωτήρ, ἀνήγαγες ὄρει, Θαβωρίῳ πρὸ τοῦ Σταυροῦ, μεταμορφωθεὶς τῇ ἀλλοιώσει, τῆς Σῆς μορφῆς καὶ θεώσας τὸ πρόσλημμα.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***

Γῆθεν ἀνυψώσας τοὺς Μαθητάς, ἔδειξας Οἰκτίρμον, τὸ ἀρχέτυπον τῆς μορφῆς, κάλλος ὃ ἀπώλεσεν ἡ φύσις, παρακοῇ· διὸ νῦν ἡμᾶς οἴκτειρον.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ἱλέωσαι Δέσποινα τὸν ἐκ Σοῦ, Σωτῆρα τεχθέντα, ἡμῖν δοῦναι ἁμαρτιῶν, τὴν ἄφεσιν Κόρη σαῖς προεσβείαις, καὶ σωτηρίας τυχεῖν ἡμᾶς ποίησον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος...*

*Ὁ α΄ χορός:*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.*

Διαφύλαξον πάντας, τοὺς τὴν φρικτὴν Δέσποτα, πόθῳ εὐφημοῦντας ἁγίαν, Σοῦ Μεταμόρφωσιν, εἰς ἀπολύτρωσιν, ἁμαρτιῶν καὶ πταισμάτων, καὶ νοσοῦντας ἴασαι, μόνε Φιλάνθρωπε.

*Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.*

Εὐφυμνίους ᾠδάς Σοι, πόθῳ πολλῷ Δέσποτα, Σοῦ Μεταμορφώσει τῇ θείᾳ, ᾄδοντες μέλπομεν, παθῶν εἰς ἴασιν, καὶ νοσημάτων Οἰκτίρμον, καὶ πταισμάτων ἄφεσιν, μόνε Θεάνθρωπε.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.*

Ζωῆς νῦν καὶ θανάτου, Κύριος ὢν Δέσποτα, τόν τε Μωυσῆν καὶ Ἠλίαν, Ὄρει παρέστησας, μεταμορφούμενος, πρὸ τοῦ Σταυροῦ Σου δεικνύων, Μαθηταῖς Σου Ἔγερσιν, μόνε Ὑπέρθεε.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ἀπειρόγαμε Κόρη, ὁλολαμπὴς Ἄνασσα, σὺν τοῖς Ἀποστόλοις δυσώπει, ὃν ἐσωμάτωσας, νόσων καὶ θλίψεων, καὶ πάσης ἄλλης ἀνάγκης, σῶσαι τοὺς ὑμνοῦντάς Σε, Θεοχαρίτωτε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους Σου Φωτοδότα, ὅτι πάντες Χριστὲ πρὸς Σὲ καταφεύγομεν, τὸν μεταμορφωθέντα Σωτῆρα.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Αἴτησις ὑπὸ τοῦ Ἱερέως:*

*Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.*

**Κ**ύριε ἐλέησον γ΄.

*Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.*

**Κ**ύριε ἐλέησον γ΄.

*Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν Β (τάδε).*

**Κ**ύριε ἐλέησον γ΄.

*Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς καὶ καθηγουμένου ἡμῶν (τάδε) Ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

**Κ**ύριε ἐλέησον γ΄

*Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν πατέρων καὶ ἀδελφῶν τῆς Ἱερᾶς Μονῆς ταύτης, τῶν εὐλαβῶν προσκυνητῶν καὶ δωρητῶν αὐτῆς, τῶν ἐργαζομένων ἐν αὐτῇ, τῶν ἐνασκουμένων ἐν τῷ Ἁγιονύμῳ ὄρει τούτῳ, τῶν δούλων τοῦ Θεοῦ (τάδε, τὰ ὀνόματα ὧν βούλεται) καὶ ὑπὲρ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.*

**Κ**ύριε ἐλέησον γ΄

*Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*Ὁ χορός:* Ἀμήν.

*Καὶ τὸ Κάθισμα.*
*Ἦχος β΄. Τὰ ἄνω ζητῶν...*

*Ὁ α΄ χορός:*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Σκοτίᾳ πολλῇ, κυκλούμενοι, οἱ δοῦλοί Σου, καὶ ὑπὸ πνευμάτων, τοῦ σκότους ἀπειλούμενοι, πρὸς Σὲ καταφεύγομεν, Φωτοδότα κράζοντες· οἴκτειρον, καὶ τῷ Φωτί Σου φώτισον ἡμᾶς, Φωτὶ ὁ ἀστράψας τῆς Θεότητος.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***
***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχηστον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμεν Σοι, Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε...*
*Ὁ β΄ χορός:*

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Ἡ φρικτὴ Μεταμόρφωσις, Σοῦ τοὺς Ἀποστόλους χαρᾶς ἐνέπλησε, Θεὸν εἶναί Σε γνωρίσαντες, οὐρανοῦ καὶ γῆς τε κυριεύοντα.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν δόξα Σοι.***



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Θαυμαστὴ ὄντως πέφυκεν, ἡ σεπτὴ καὶ θεία Σου Μεταμόρφωσις· ὑπὲρ ἥλιον γὰρ ἔλαμψεν, ἡ μορφή Σου Λόγε ἐξαστράπτουσα.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***

Ἰδοὺ Σῶτερ ἐβόησαν, Μωυσῆς Ἠλίας τε Ἀποστόλοις Σου, Ὅν ἡμεῖς προκατηγγείλαμεν, τοῦ ἐλθεῖν καὶ σῶσαι τὸ ἀνθρώπινον.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Καθαρὸν ἐνδιαίτημα, μόνη Σὺ ἐφάνης Κόρη τοῦ Κτίστου Σου, Ὅν δυσώπει ὡς Πανάγαθον, τοῦ σωθῆναι πάντας τοὺς τιμῶντάς Σε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς...*

*Ὁ α΄ χορός:*

***Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.***

Κράτος καὶ ἰσχύν, Κραταιὲ ἡμᾶς περίζωσον, ὁ κρατῶν χειρὶ τὸ σύμπαν, τοὺς τὸ Σόν, κράτος ὑμνοῦντας, καὶ Σοὶ γόνυ ὑποκλίναντας.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Λάμψον καὶ ἡμῖν, Φωτοκράτορ φῶς ὑπέρφωτον, ὁ ποιῶν λόγῳ ἄστρα καὶ ἀστραπάς, καὶ γεννηθήτω, τὸ φῶς εἰπὼν καὶ ἐγένετο.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***

Μέγα καὶ φρικτὸν ἐθεάσαντο μυστήριον, Σοῦ οἱ Ἀπόστολοι ἐν ὄρει Θαβώρ, Πατρὸς φωνῆς τε, νεφέλης ἐν μέσῳ ἤκουον.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ὥραν τὴν φρικτήν, ἐνθυμοῦμαι τοῦ Σοῦ Βήματος, καὶ συσχεθεὶς ἐν φόβῳ Σοι ἐκβοῶ· φεῖσαί μου Σῶτερ, δεήσεσι τῆς τεκούσης Σε.

*Ὠδὴ ϛ΄. Τὴν δέησιν...*

*Ὁ β΄ χορός:*

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Νόμου Σου τοὺς προεξάρχοντας Κύριε, Μωυσῆν Ἠλίαν καὶ τοὺς προκρίτους, τῶν Μαθητῶν, Σου Θαβὼρ ἐν τῷ ὄρει, αἴγλῃ προσώπου ἐξέστησας ἅπαντας· καὶ ἤκουον ἐκ τοῦ Πατρός, βεβαιοῦντος Χριστὲ τὴν Υἱότητα.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.*

Ξενίζονται τῶν Ἀγγέλων ἅπασαι, στρατιαὶ καὶ τῶν ἀνθρώπων τὰ πλήθη, Χριστὲ Σωτήρ, Σοῦ τὸ ξένον ὁρῶσαι, τὸ τῆς μορφῆς ὃ ἐν Ὄρει ὑπέδειξας, πιστούμενος Σοὺς Μαθητάς, ὅτι Σὺ εἶ τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.*

Οἱ τρεῖς Σου τῶν Ἀποστόλων βλέποντες, Μωυσῆν τε καὶ Ἠλίαν ὀφθέντας, καὶ Σοῦ Χριστέ, τὰς ἐξόδους λαλοῦντας, πρηνεῖς πεσόντες γῇ φόβῳ συνείχοντο, ἀκούοντες ἐκ τοῦ Πατρός, μαρτυροῦντός Σου Λόγε τὸ γνήσιον.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

Βασίλισσαν ὁ Δαβὶδ Σε Δέσποινα, προηγόρευσε τεκοῦσαν τὸν Λόγον, Δημιουργόν, Βασιλέα καὶ Κτίστην, καὶ Ποιητὴν τῶν αἰώνων καὶ Κύριον· Σοῦ δέομαι δεῖξον κἀμέ, βασιλέα παθῶν τὸν τιμῶντά Σε.

Ἀνάστησον, ἐξ ἔργων σκότους καὶ βάθους ἀγνοίας Σῶτερ, καὶ ἐπὶ τὸ κρεῖττον τοὺς δούλους Σου μεταμόρφωσον, εἰς ἀρετῶν ὄρος ἀναβιβάζων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

*Αἴτησις ὑπὸ τοῦ Ἱερέως*
*(Βλ. σελ. 14).*

**Κοντάκιον.**
*Ἦχος δ΄. Προστασία τῶν Χριστιανῶν...*

*Ὁ β΄ χορός:*

Ὡς Θεὸν καὶ Σωτῆρά Σε ἔχοντες μέγιστον, καὶ ἐν πᾶσι δεινοῖς βοηθὸν ἡμῶν ἕτοιμον, ἱκετεύομέν Σε θερμῶς Ζωοδότα Ἰησοῦ· Σοῦ τὴν πρόνοιαν τὴν ἀγαθήν, καὶ εὐσπλαγχνίαν Σου πολλήν, ἐφ᾿ ἡμᾶς ἐνδειξάμενος, σῶσον ἐκ τῶν κινδύνων, δεινῶν τε πειρατηρίων, καὶ τῶν ἐχθίστων δυσμενῶν, τοὺς ἐν πίστει ἀνυμνοῦντάς Σε.

*Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος δ΄.*

*Ἄρχεται ὁ α΄ χορός:*

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί Σου ἀγαλλιάσονται (Ἐκ γ΄).

*Τῇ δὲ γ΄ μετὰ τοῦ Στίχου:*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Σοί εἰσιν οἱ οὐρανοὶ καὶ Σή ἐστιν ἡ γῆ.

*Ὁ Ἱερεύς:*

***Κ**αὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*

*Ὁ Χορός:* Κύριε ἐλέησον *(γ΄).*

*Ὁ Ἱερεύς:*

***Σ**οφία· ὀρθοί, ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.*

*Ὁ Χορός:* **Κ**αὶ τῷ πνεύματί Σου.

*Ὁ Ἱερεύς:*

***Ἐ**κ τοῦ κατὰ Λουκᾶν, Ἁγίου Εὐαγγελίου, τὸ ἀνάγνωσμα. Πρόσχωμεν.*

*Ὁ Χορός:* Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ὁ Ἱερεύς:*

*(κεφ. 9, 28-36)*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Τῷ καιρῷ ἐκείνῳ παραλαβὼν ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωυσῆς καὶ Ἠλίας, οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾿ αὐτοῦ εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν Σοὶ καὶ μίαν Μωυσῇ καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν ἐκείνους εἰς τὴν νεφέλην· Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν εὑρέθη ὁ Ἰησοῦς μόνος. Καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

*Ὁ Χορός:* Δόξα Σοι Κύριε, δόξα Σοι.

*Καὶ αὖθις ὁ α´ χορός:*

*Ἦχος β´.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Προσόμοιον.*
*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι...*

*Ὁ α΄ χορός:*

*Στίχ.* ***Ἐ***λεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Λάμψας ὑπὲρ ἥλιον, ἐπὶ τοῦ Ὄρους Οἰκτίρμον, τὴν ἀμαυρωθεῖσαν μου, φύσιν κατελάμπρυνας, καὶ ἐθέωσας· τὰ ἡμῶν πταίσματα, ὡς Δεσπότης πάντων, συγχωρήσας Ὑπεράγαθε· διὸ δεόμεθα, λάμψον φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν· καὶ λύτρωσαι κολάσεως, τῆς αἰωνιζούσης τοὺς δούλους Σου, τοὺς μετ᾽ εὐλαβείας, τιμῶντας τὴν λαμπράν Σου καὶ φρικτήν, καὶ ἔνδοξον Μεταμόρφωσιν, μόνε Πολυέλεε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ὁ Ἱερεύς:

Σῶσον ὁ Θεὸς τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων θείων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Νεκταρίου Πενταπόλεως καὶ Βησσαρίωνος Λαρίσης τῶν θαυματουργῶν· Καλλίστου Κωνσταντινουπόλεως, Γρηγορίου τοῦ Παλαμᾶ καὶ Θεωνᾶ Θεσσαλονίκης· τοῦ Ἁγίου ἐνδόξου πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου· τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν Ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου Τήρωνος καὶ τοῦ Στρατηλά-



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*του, Μηνᾶ, Τρύφωνος καὶ Χριστοφόρου τῶν θαυματουργῶν· τῶν Ἱερομαρτύρων Χαραλάμπους, Πολυκάρπου, Ἐλευθερίου, Βλασσίου, Κλήμεντος Ἀγκύρας, Φωκᾶ Σινώπης, Ἑρμολάου, Ἰγνατίου τοῦ θεοφόρου καὶ Κοσμᾶ τοῦ Αἰτωλοῦ· τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· Ἀντωνίου τοῦ Μεγάλου, Εὐθυμίου τοῦ Μεγάλου, Σάββα τοῦ Ἡγιασμένου, Παϊσίου τοῦ Μεγάλου, Διονυσίου τοῦ ἐν Ὀλύμπῳ, Ἰωαννικίου τοῦ Μεγάλου, Ἀθανασίου καὶ Ἰωάσαφ τῶν ἐν Μετεώροις, Θεοφίλου τοῦ Μυροβλήτου, Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ, Νικοδήμου τοῦ Ἁγιορείτου καὶ πάντων τῶν Παντοκρατορινῶν πατέρων· Πέτρου καὶ Ἀθανασίου τῶν ἐν Ἄθῳ, Ξενοφῶντος καὶ Σιλουανοῦ τῶν Ἀθωνιτῶν καὶ πάντων τῶν ἐν ἀσκήσει καὶ ἀθλήσει διαλαμψάντων ἐν τῷ Ἁγιωνύμῳ ὄρει τούτῳ. Τῶν Ἁγίων θαυματουργῶν καὶ ἰαματικῶν Ἀναργύρων· τῶν Ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ Ἁγίου τῆς ἡμέρας) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων Σου τῶν Ἁγίων. Ἱκετεύομέν Σε μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου καὶ ἐλέησον ἡμᾶς.*

*Ὁ Χορός, χῦμα:* **Κ**ύριε ἐλέησον *(ιβʹ)*

*Ὁ Ἱερεύς:*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σὺν τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*Ὁ Χορός:* Ἀμήν.

Καὶ εὐθὺς ὁ ἐκκλησιάρχης μετὰ κατσίου θυμιᾷ ἅπαντα τὸν ναὸν κατὰ τὴν τάξιν, ἐνῷ ὁ α´ χορὸς ψάλλει:

*Ὠδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας...*

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Προσκυνοῦμεν ἐκ πόθου, καὶ τιμῶμεν τὴν θείαν Σου Μεταμόρφωσιν, δι᾽ ἧς βροτῶν ἡ φύσις, ἐνδόξως ἀνυψώθη, εἰς τὸ πρῶτον ἀξίωμα. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Ρητορεύουσα γλῶσσα, μεγαλεῖα τὰ σὰ οὐ δύναται φθέγξασθαι· Μωυσῆν γὰρ καὶ Ἠλίαν, συμπαρέστησας Σῶτερ, ἐν Θαβὼρ μεταμορφούμενος, ἀναβοῶντας πρὸς Σέ· Θεὸς εἶ Παντοκράτωρ.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Συνανῆλθέ Σοι Λόγε, Μαθητῶν ἡ ἀκρότης ἐπὶ τοῦ ὄρους Θαβώρ, οἷς τῆς Θεότητός Σου, τὴν δόξαν καὶ τὸ κάλλος, ἐφανέρωσας κράζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ὁ τῶν ὅλων Δεσπότης, ἐκ γαστρός Σου προῆλθε Παρθένε Ἄχραντε· καὶ ἔσωσε τὸν κόσμον, ἐκ πλάνης τῶν εἰδώλων, καὶ ἀνθρώπους ἐθέωσεν· Ὃν ἐκδυσώπει Ἁγνή, τοὺς Σὲ ὑμνοῦντας σῶσαι.

*Ὠδὴ η΄. Τὸν Βασιλέα ...*

*Ὁ β΄ χορός:*

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Τὸν ἐν Θαβώρ, μεταμορφωθέντα Σωτῆρα, ἀνυμνοῦμεν βροτοὶ κατὰ χρέος, δι᾽ οὗ ἀνεκαινίσθη, ἡ βρότειος οὐσία.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Ὑπερεκβλύζει, τοῖς προσιοῦσι τὴν Χάριν, καὶ ὀσμὴν μυρεψικὴν ἀποπνέει, ἡ Εἰκὼν Σωτήρ μου, τοῦ θείου Σου προσώπου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

***Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.***

Φαίνει ἐν κόσμῳ, καὶ δᾳδουχεῖ τὰς ἀκτῖνας, ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος· Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Ὑπερφυῶς, τὸν Δημιουργὸν καὶ Σωτῆρα, Θεὸν τέτοκας Λόγον Παρθένε· Ὃν σὺν Ἀσωμάτοις, ὑμνοῦμεν εἰς αἰῶνας.

*Ὠδὴ θ΄.*

*Εὐθὺς ὁ α΄ χορός:*

«Κυρίως Θεοτόκον, Σὲ ὁμολογοῦμεν οἱ διὰ
» Σοῦ σεσωσμένοι, Παρθένε ἁγνή, σὺν Ἀσω-
» μάτοις χορείαις Σὲ μεγαλύνοντες.

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Χαρᾶς καὶ εὐφροσύνης, τὰς ἡμῶν καρδίας, πληροῖ Σωτήρ μου ἡ θεία Σου Μεταμόρφωσις, ἣν ἀνυμνοῦντες ἐκ πόθου, Σὲ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

***Δόξα Σοι ὁ Θεὸς ἡμῶν, δόξα Σοι.***

Ψαλμοῖς ᾠδαῖς καὶ ὕμνοις, μέλψωμεν ἀξίως, ὑμνολογοῦντες σεπτὴν Μεταμόρφωσιν, τὴν τοῦ Σωτῆρος ἐν φόβῳ ὃν μεγαλύνομεν.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

Ὡράθης εὐσπλαγχνίᾳ, ἄνθρωπος Σωτήρ μου, ἵνα θεώσῃς φθαρέντα τὸν ἄνθρωπον· διὸ Θεάνθρωπε πάντες, Σὲ μεγαλύνομεν.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Σωμάτων ἀλγηδόνας, καὶ ψυχῶν τὰ πάθη, ἀπὸ τῶν δούλων Σου Κόρη ἀπέλασον, τῶν προστρεχόντων ἐν πίστει, τῇ θείᾳ σκέπῃ Σου.

*Καὶ εὐθὺς ὁ α´ χορὸς τό:*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Καὶ τὰ παρόντα Μεγαλυνάρια ἐναλλὰξ οἱ δύο χοροί:*

Θέλων ἐπιδεῖξαι τοῖς μαθηταῖς, δύναμιν ἐξ ὕψους καὶ σοφίαν παρὰ Πατρός, ἐν ὄρει ἀνῆλθες Χριστέ τῷ Θαβωρίῳ, καὶ λάμψας ὡς Δεσπότης, τούτοις ἐφώτισας.

Τὴν ἀμαυρωθεῖσαν φύσιν ἡμῶν, ηὔγασας ἐν ὄρει, Θαβωρίῳ τῷ θαυμαστῷ· μεταμορφωθεὶς γάρ, ἐπὶ τῶν Μαθητῶν Σου, ὡς ἥλιος ἀστράψας, τούτους ἐξέστησας.

Δεῦτε προσκυνήσωμεν εὐλαβῶς, τὴν σεπτὴν Εἰκόνα, τοῦ Σωτῆρος τὴν θαυμαστήν, τοῦ τε σαρκωθέντος, καὶ μεταμορφωθέντος, ἐξ ἧς ἡμῖν ἐκβλύζει, Χάριτος νάματα.

Φαίδρυνον κατάλαμψον τοὺς πιστῶς, τιμῶντας Σου Λόγε, Μεταμόρφωσιν τὴν φαιδράν, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, τῶν ζοφερῶν πνευμάτων, ὡς Παντοδύναμος.

Δεῦτε οἱ ἐν νόσοις παντοδαπαῖς, καὶ οἱ ἐν κινδύνοις, συνεχόμενοι χαλεποῖς, δράμωμεν προθύμως, ἐν τούτῳ τῷ τεμένει, Χριστοῦ Μεταμορφώσεως, καὶ σωθείημεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Τῆς Μεταμορφώσεως ὁ Ναός, ἀεὶ βρύει πᾶσι, ῥῶσιν σώματος καὶ ψυχῆς, δαίμονας ἐλαύνει, καὶ φωτίζει τὰς φρένας, τῶν φόβῳ προσιόντων αὐτῷ ἐκ πίστεως.

Χάρις νῦν μεγίστη παρὰ Θεοῦ, ἐκ τοῦ Οἴκου τούτου, τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, δέδοται τοῖς πόθῳ, αὐτῷ νῦν προσκυνοῦσι, πληροῦσα τὰς αἰτήσεις, καὶ πόνους παύουσα.

Φώτισον καρδίας πάντων πιστῶν, λάμψον θείαν Χάριν, μεταμόρφωσον Ἰησοῦ, σῇ Μεταμορφώσει, ἡμᾶς τὰ πλάσματά Σου, εἰς Σοῦ τὸ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν.

Ὕψωσον τὸ κέρας Χριστιανῶν, βράβευσον εἰρήνην, Ἐκκλησίαις Σου Ἰησοῦ, φεῖσαι τοῦ λαοῦ Σου, Μητρός Σου μεσιτείαις, τῶν θείων Προφητῶν Σου, καὶ Ἀποστόλων Σου.

Χαίρει Παντοκράτορος ἡ Μονή, ἔχουσα ἐν κόλποις, τὴν Εἰκόνα Σου τὴν σεπτήν, ἥτις Θεοτόκε, Γερόντισσα καλεῖται, καὶ βρύει εὐφροσύνην, καὶ ἀγαλλίασιν.

Τοὺς ἀσπαζομένους τὴν Σὴν Ἁγνή, πάνσεπτον Εἰκόνα, Παντοκράτορος, ἐν Μονῇ, τεθησαυρισμένην τοῦ Ὄρους τοῦ Ἁγίου, φυλάττοις ἀπειρά-

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

στους, θεία Γερόντισσα.

Βλέποντες Εἰκόνα Σου τὴν σεπτήν, πάναγνε Παρθένε Σοὶ Γερόντισσα φοιτηταί, Μεταμορφωθέντα ἐν ὄρει Θαβωρίῳ, Χριστὸν δοξολογοῦμεν, τὸν Παντοκράτορα.

Χαίρετε Πατέρες θεοειδεῖς, πυρσοὶ φωτοφόροι, Παντοκράτορος τῆς Μονῆς, καὶ πάγκαρπα δένδρα, ζωῆς τῆς μακαρίας, καὶ πρὸς Χριστὸν μεσῖται, οἱ ἑτοιμότατοι.

Χαίροις Μυροβλύτα Πάτερ Σοφέ, Θεόφιλε Μάκαρ, τῶν Ὁσίων ἡ καλλονή, Ζιχναίων τὸ κλέος, Ἄθω ἡ εὐωδία, ἡμῶν δὲ τῶν Σῶν δούλων, πρέσβυς θερμότατος.

Ἄστρον ἀνατέταλκεν φαεινόν, ἐκ τῆς Καππαδόκων ὁ πολύαθλος τοῦ Χριστοῦ, Μάρτυς καὶ φωτίζει πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ Μέγας ὃν νῦν γεραίρομεν.

Ἴχνεσιν ἑπόμενος ἀκλινῶς, Τρύφων ἀθλοφόρε, τοῦ γνωσθέντος ἐπὶ τῆς γῆς, τῶν Αὐτοῦ χαρίτων, δοχεῖον ἀνεδείχθης, καὶ ἱεροῖς ἀγῶσι, Μάρτυς διέπρεψας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Μάρτυς ἀκατάπληκτος καὶ στερρός, πέλων τῇ ἰδέᾳ, Χριστοφόρε καὶ τῷ νοΐ, τῶν ἀντικειμένων, κατέπληξας τὰ στίφη, ἀθλήσας ὑπὲρ φύσιν, πόθῳ τοῦ Κτίστου σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Ὁ Ἀναγνώστης τὸ Τρισάγιον:*

**Ἀ**μήν. Ἅ**γ**ιος ὁ Θεός, Ἅγιος Ἰσχυρός,
Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς *(γ΄)*.

**Δ**όξα... **Κ**αὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν, Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

**Κ**ύριε ἐλέησον (γ΄).

**Δ**όξα ... **Κ**αὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου. Ἐλθέτω ἡ βασιλεία Σου. Γενηθή-



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

τω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὁ Ἱερεύς:* *Ὅτι Σοῦ ἐστιν...*

*Καὶ αὖθις οἱ δύο χοροὶ ἐναλλὰξ τὰ παρόντα τροπάρια εἱρμολογικῶς, ἀρχομένου τοῦ α΄ χοροῦ:*

*Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.***

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ Σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς Εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός Σου· πάντες ἔργα χειρῶν Σου, καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.***

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς Σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων· Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ ἱερεὺς την ἐκτενῆ:*

***Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καὶ ἐλέησον.*

*Καθ᾽ ὅσον ὁ ἱερεὺς ποιεῖ την αἴτησιν, ὁ α´ χορός ψάλλει:*

***Κ**ύριε ἐλέησον γ´, καὶ εὐθὺς μ´, ἀνὰ ι´, ἐναλλὰξ μετὰ τοῦ β´ χοροῦ.*

***Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην καὶ πᾶσαν μονήν, πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικει-*

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*μένης δικαίας Αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.*

*Καὶ αὖθις,* **Κ**ύριε ἐλέησον (γ΄) *ἐναλλάξ.*

*Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.*

*Ὁ α΄ χορός:* **Κ**ύριε ἐλέησον (γ΄).

*Ὁ Ἱερεύς:*

*Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*Ὁ Χορός:* Ἀμήν.

*Καὶ ὁ Ἀναγνώστης:*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον, Εὐλόγησον.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Ὁ Ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν λέγων:*

***Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας Αὐτοῦ Μητρός, δυνάμει τοῦ Τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ Ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*

*Εὐθὺς δὲ ψάλλουν ὁ α΄ χορὸς ἐναλλὰξ μετὰ τοῦ β΄:*

---

*Καθ᾽ ὅλον τὸν χρόνον τὰ τροπάρια ταῦτα:*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου ...*

Δεῦτε, μετὰ φόβου καὶ χαρᾶς, καὶ μετὰ πολλῆς εὐλαβείας, κατασπασώμεθεα, Εἰκόνα τὴν πάντιμον, καὶ χαριτόβρυτον, τὴν τῆς Μεταμορφώσεως, Χριστοῦ τοῦ Σωτῆρος, χάριτας τὴν βρύουσαν, τοῖς προσκυνοῦσιν αὐτῇ· ἥνπερ, προσπτυσσόμενοι πόθῳ, χάριν ἀρυσόμεθα πάντες, τὸν Σωτῆρα Κύριον δοξάζοντες.

Πάλαι, ὁ λαλήσας τῷ Μωυσεῖ, διὰ συμβόλων καὶ νόμων, ἐπὶ τοῦ Ὄρους Σινᾶ, λέγων· Ἐγὼ εἰμὶ ὁ Ὢν, αὐτὸς καὶ σήμερον, ἐν Θαβὼρ ὄρει ἔδειξεν, εἰς τοὺς Ἀποστόλους, κάλλος τὸ ἀρχέτυπον, μεταμορ-

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

φούμενος· ὅμως, οὐχὶ ὅλον δι᾽ οἶκτον, μήπως τὴν ζωὴν αὐτῶν οὗτοι, ἅμα τῇ ὁράσει ἀπολέσωσιν.

Ο῞τε ἐκ νεκρῶν τὸν Μωυσῆν, καὶ ἐξ οὐρανῶν τὸν Ἠλίαν, καὶ ζώντων Πέτρον ἐκ γῆς, υἱοὺς Ζεβεδαίου τε, σοὶ συμπαρέστησας· τότε Κύριον ἔγνωσαν, νεκρῶν Σε καὶ ζώντων, πάντων κυριεύοντα, καὶ προϋπάρχοντα. Ὅθεν, τὰ ἐγκόσμια Σῶτερ, καὶ τὰ ὑπερκόσμια ᾄδει· Δόξα Σοι Θεῷ τῷ Παντοκράτορι.

*Ἀπὸ δὲ τῆς α´ Αὐγούστου μέχρι τῆς ε´ ψάλλονται τὰ παρόντα Ἐξαποστειλάρια.*

*Ἦχος γ´. Ἀπόστολοι ἐκ περάτων...*

Ἀπόστολοι καὶ Προφῆται, καὶ κλῆρος πάντων Ἁγίων, τὴν ἔνδοξον τοῦ Σωτῆρος, νῦν Μεταμόρφωσιν πάντες, σὺν τοῖς Ἀγγέλοις ἀπαύστως, δοξολογοῦντες ὑμνοῦσιν.

Τὰ τάγματα τῶν Ἀγγέλων, συναθροισθέντα ἐν ὄρει, τῷ Θαβωρίῳ βοῶσι, Χριστῷ μεταμορφουμένῳ· Θεὸς ἡμῶν οὗτος πέλει, ὁ προαιώνιος Λόγος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Σοῦ τῇ κελεύσει ὑδάτων, πηγὰς ἐκβλύουσιν ὄρη· Σοῦ ἁπτομένου ὀρέων, καὶ καπνιζόντων Σωτήρ μου, ὄρει Θαβὼρ ἀνελθόντος, Θεότητα προσκυνοῦμεν.

Ὅταν φανῇς μετὰ δόξης, ἐξ οὐρανοῦ ὡς Δεσπότης, τοῦ κρῖναι πάντας ἀνθρώπους, ἀξίωσον ὑπαντῆσαι, ἐν ταῖς νεφέλαις ἀέρων, Σὲ τὸν Σωτῆρα καὶ Κτίστην.

Ὁ Ἱερεύς:

*Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.* Ἀμήν.





ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

# ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

Εἰς τὴν θείαν καὶ ἔνδοξον
ΜΕΤΑΜΟΡΦΩΣΙΝ
τοῦ Κυρίου καὶ Θεοῦ καὶ
Σωτῆρος ἡμῶν
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ποίημα † Γερασίμου Μοναχοῦ
Μικραγιαννανίτου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

## Ἰδιόμελον Ἀποστίχων
## Ἦχος α΄

Ὁ πάλαι τῷ Μωσεῖ συλλαλήσας ἐπὶ τοῦ ὄρους Σινᾶ διὰ συμβόλων, Ἐγὼ εἰμι, λέγων, ὁ Ὤν. σήμερον ἐπ' ὄρους Θαβὼρ μεταμορφωθείς, ἐπὶ τῶν μαθητῶν ἔδειξε τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος, ἐν ἑαυτῷ τὴν ἀνθρωπίνην ἀναλαβὼν οὐσίαν. Τοὺς τῆς τοιαύτης χάριτος μάρτυρας παραστησάμενος Μωϋσῆν καὶ Ἠλίαν, κοινωνοὺς ἐποιεῖτο τῆς εὐφροσύνης, προμηνύοντας τὴν ἔνδοξον διὰ Σταυροῦ καὶ σωτήριον ἀνάστασιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro




Χαλκογραφία, (λεπτομέρεια), 1844.
Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος Χριστοῦ.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

Εἰς τὴν θείαν καὶ ἔνδοξον
ΜΕΤΑΜΟΡΦΩΣΙΝ
τοῦ Κυρίου καὶ Θεοῦ καὶ
Σωτῆρος ἡμῶν
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ποίημα † Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

**Κοντάκιον.**

*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Μετεμορφώθης ἐν Θαβὼρ ὑπέρ κατάληψιν
Καί τῆς σῆς δόξης τήν λαμπρότητα ὑπέδειξας
Τοῖς Ἁγίοις Ἀποστόλοις καί Μαθηταῖς σου.
Ἀλλά δίδου καί ἡμῖν τό φῶς σου Κύριε
Τοῖς ἀνυμνοῦσί σου τήν θείαν Μεταμόρφωσιν
Καί βοῶσί σοι· **Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ἄγγελοι ἀοράτως, ἐν Θαβώρ τῷ ἁγίῳ,
τήν σήν Μεταμόρφωσιν ἀνύμνουν (ἐκ γ΄)
καί οἱ τρεῖς σου Μαθηταί Σωτήρ,
τῆς ἀστραπῆς σου ὁρῶντες τήν ἔλλαμψιν,
ἐξίσταντο θαυμάζοντες, καί ἐβόων σοι ἐν ἐκπλήξει·
Δόξα Χριστέ τῇ σῇ φωταυγείᾳ
Δόξα τῇ θείᾳ οἰκονομίᾳ
Δόξα τῷ ἐν ὄρει Θαβώρ ἀπαστράψαντι
Δόξα τῷ τό γένος βροτῶν καταυγάσαντι
Δόξα Σῶτερ φωτοπάροχε τῷ φωτί τῆς σῆς μορφῆς
Δόξα Ἥλιε ἀνέσπερε αἴγλη τῆς σῆς ἀστραπῆς
Δόξα τῇ βασιλείᾳ τῇ θείᾳ σου Πανοικτίρμον
Δόξα τῆς εὐσπλαγχνίας τῷ πλούτῳ σου Ἐλεῆμον
Δόξα Χριστέ τῇ σῇ ἀγαθότητι
Δόξα τῇ θείᾳ σου ὡραιότητι
Δόξα τῷ εἴδει βροτῶν ὁραθέντι
Δόξα τῷ πάντας ἡμᾶς φωταυγοῦντι

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Βλέποντες τῆς σῆς δόξης, τήν ὑπέρφωτον αἴγλην, οἱ τρεῖς σου Μαθηταί ἐν τῷ ὄρει, τῶν ὅρων ἐκβάντες τῆς σαρκός, τῶν ὑπερφυῶν ἐπόπται ἐγένοντο, ὦ Φωτοδότα Κύριε, καί ἐνθεαστικῶς ἐβόων·

**Ἀλληλούϊα.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Γνόφῳ πάλαι κατεῖδε, καλυφθείς ἐν Σιναίῳ. Μωυσῆς τήν τοῦ Θεοῦ παρουσίαν, νῦν δέ ἐν τῷ Θαβώρ ἐμφανῶς, πρόσωπον πρός πρόσωπον ἐθεάσατο, τήν τοῦ Χριστοῦ λαμπρότητα, σύν τῷ Ἠλίᾳ ἀνακράζων·
Δόξα Κυρίῳ τῷ σαρκωθέντι
Δόξα τῷ κόσμῳ ἐπιφανέντι
Δόξα τῇ ἀρρήτῳ ἐκλάμψει σου Κύριε
Δόξα τῇ σῇ δόξῃ Ὑπέρθεε Ἥλιε
Δόξα Σῶτερ τῇ σαρκώσει σου δι' ἧς ἔσωσας ἡμᾶς
Δόξαν σοι ἀεί προσάγομεν οἱ ῥυσθέντες τῆς φθορᾶς
Δόξα τῷ ἀνελθόντι εἰς Θαβώριον ὄρος
Δόξα τῷ ῥυσαμένῳ τῶν ἀνθρώπων τό γένος
Δόξα τῇ σῇ Οἰκτίρμον χρηστότητι
Δόξα τῇ σῇ ἀρρήτῳ λαμπρότητι
Δόξα φωτός σου τῇ θείᾳ ἐκφάνσει
Δόξα προσώπου σου τῇ ἀναλάμψει

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Δόξαν τοῦ σοῦ προσώπου, Μωϋσῆς καί Ἠλίας, ὁμοῦ σύν τοῖς τρισίν Ἀποστόλοις, κατεῖδον ἐν Θαβώρ ἐμφανῶς, τόν σόν Δέσποτα Σταυρόν προμηνύοντες, καί ἐν φωτί ὁρώμενοι, ἐν ἐκστάσει σοι ἀνεβόων·

**Ἀλληλούϊα.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ἐπιβάς ἐν τῷ ὄρει, τῷ Θαβώρ Φωτοδότα, ἀπήστραψας φωτί ἀπροσίτῳ, ἐν ᾧ Πέτρος καί Ἰάκωβος, σύν τῷ Ἰωάννῃ καταλαμπόμενοι, ἐξέστησαν τῇ δόξῃ σου, καί μετά φόβου ἀνεβόων·
Δόξα μορφῆς σου τῇ ἀπαστράψει
Δόξα τῇ ξένῃ σου ἀναλάμψει
Δόξα τῷ πληροῦντι τά πάλαι κηρύγματα
Δόξα τῷ θεοῦντι ἀνθρώπων τό φύραμα
Δόξα ὅτι ὑπερέλαμψας ἐν ἀΰλῳ ἀστραπῇ
Δόξα ὅτι Σῶτερ ἔδειξας τήν ἀρχαίαν καλλονήν
Δόξα ὦ Πανοικτίρμον τῇ σῇ φωτοχυσίᾳ
Δόξα τῇ ὑπέρ λόγον θείᾳ σου φωταυγείᾳ
Δόξα τῇ σῇ κενώσει Φιλάνθρωπε
Δόξα τῷ σῷ ἐλέει Μακρόθυμε
Δόξα τῇ σῇ Χριστέ Μεταμορφώσει
Δόξα προσώπου σου τῇ ἀλλοιώσει

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Ζέων πυρί ἀΰλῳ, ἀγαπήσεως Λόγε, ἐβόα ἐν Θαβώρ σοι ὁ Πέτρος· Καλόν ἐστιν ὧδε εἶναι· μή εἰδώς ὅ ἐλάλει Φιλάνθρωπε· ἐκστάσει γάρ συνείχετο, καί ἐν φωτί σοι ἀνεβόα·

**Ἀλληλούϊα.**

Ἤκουσαν τῆς Πατρῴας φωνῆς σοι ἐνεχθείσης, ἐν ὄρει οἱ Ἀπόστολοι Σῶτερ καί πρηνεῖς πε-

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

σόντες ἐπί γῆς, τῇ ἀστραπῇ τῆς μορφῆς σου ἐξέστησαν, θεοειδεῖς ὁρώμενοι, καί ἐν χαρᾷ σοι ἀνεβόων·
Δόξα μορφῆς σου Σῶτερ τῇ λάμψει
Δόξα φωτός σου τῇ θείᾳ φαύσει
Δόξα τῇ φωσφόρῳ καί θείᾳ σου χάριτι
Δόξα τῇ ἀπλέτῳ φωτός λαμπρότητι
Δόξα τῇ ὑπέρ κατάληψιν ἐπιλάμψει σου Χριστέ
Δόξα τῇ συγκαταβάσει σου Ὑπερούσιε Θεέ
Δόξα τῇ φωτοφόρῳ ἀλλοιώσει σου Λόγε
Δόξα τῇ ζωηφόρῳ φωταυγείᾳ σου Σῶτερ
Δόξα τῷ δείξαντι φῶς τό ἄκτιστον
Δόξα τῷ λάμψαντι αὐγήν ἄυλον
Δόξα Οἰκτίρμον τῇ σῇ βασιλείᾳ
Δόξα τῇ θείᾳ μεγαλοπρεπείᾳ

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Θεός μέγας ὠράθης, ἐν Θαβώρ ἀπαστράψας, Θεότητος φωτί ἀπροσίτῳ, ἐν μέσῳ θεῶν κατά Δαβίδ, τῶν Προφητῶν καί Μαθητῶν σου Κύριε, οἵ ἔφριξαν ὡς ἔβλεψαν, τήν δόξαν σου ἀναβοῶντες·

**Ἀλληλούϊα.**

Ἴδον ἐν Θαβωρίῳ, Μωϋσῆς καί Ἠλίας, ὁμοῦ σύν τοῖς τρισί Μαθηταῖς σου, τήν σήν Μεταμόρφωσιν Χριστέ, καί τῆς μελλούσης βασιλείας τήν ἔλλαμψιν· διό καί ἐν αἰνέσει σοι, ἀνεβόων ἐν εὐφροσύνῃ·

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα φωτί σου Σῶτερ τῷ θείῳ
Δόξα τῇ αἴγλῃ σου τῇ ἀκτίστῳ
Δόξα τῇ φωσφόρῳ Χριστέ χορηγίᾳ σου
Δόξα τῇ ἀπλέτῳ φωταγωγίᾳ σου
Δόξα Λόγε φωτοπάροχε τοῖς πολλοῖς σου οἰκτιρμοῖς
Δόξα τοῖς ζωοπαρόχοις σου πρός ἀνθρώποις φωτισμοῖς
Δόξα τῷ χορηγοῦντι φῶς ὑπέρφωτον πᾶσι
Δόξα τῷ φωταυγοῦντι τῶν ψυχῶν τάς δυνάμεις
Δόξα σοι Ἥλιε πανυπέρφωτε
Δόξα σοι Κύριε πολυεύσπλαγχνε
Δόξα σοι φῶς καί ζωή τῆς ψυχῆς μου
Δόξα σοι θεία ἀκτίς τοῦ νοός μου

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Κάλλους τοῦ αἰωνίου, τάς ἐλλάμψεις Οἰκτίρμον, ὑπέδειξας τῇ σῇ Μεταμορφώσει, τῆς ἀλήκτου βασιλείας σου, ἀστράψας ἐν τῷ Θαβώρ ὑπέρ ἥλιον· διό οἱ σοί Ἀπόστολοι, ἐκπληττόμενοι ἀνεβόων·

**Ἀλληλούϊα.**

Λάμψας ἐν Θαβωρίῳ ὑπέρ νοῦν τε καί λόγον, Θεότητος τῆς σῆς ταῖς ἀκτῖσιν, ἐθέωσας τήν φύσιν ἡμῶν, καί τήν ἀράν τοῦ Ἀδάμ ἐξηφάνισας, ὦ

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Φωτοδότα Κύριε, καί σώζεις τούς πίστει βοῶντας·
Δόξα Ἡλίῳ τῷ ἀνεσπέρῳ
Δόξα Κυρίῳ τῷ Θεανθρώπῳ
Δόξα τῷ φωτίζοντι ἡμῶν τήν διάνοιαν
Δόξα τῷ σκεδάζοντι ἐχθροῦ τήν παράνοιαν
Δόξα τῷ λαβόντι ἄνωθεν μαρτυρίαν ἐκ Πατρός
Δόξα τῷ διδόντι ἅπασι σωτηρίαν ὡς Θεός
Δόξα τῷ ἐν τῷ ὄρει τῷ Θαβώρ ἀνελθόντι
Δόξα τῷ φῶς τοῖς πᾶσι νοερόν χορηγοῦντι
Δόξα τῷ λάμψαντι φῶς ἀπρόσιτον
Δόξα τῷ σώσαντι τόν Πρωτόπλαστον
Δόξα Χριστῷ τῷ μεταμορφωθέντι
Δόξα τῷ ἐν ὕλῃ ὑμῖν φανέντι

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Μελλούσης βασιλείας, τήν ἀΐδιον δόξαν, ἐκφήνας ἐν Θαβώρ Ζωοδότα, μετεμορφώθης ὑπερφυῶς, καί τῇ Πατρῴᾳ φωνῇ μεμαρτύρησαι· διό οἱ σοί Ἀπόστολοι σύν τοῖς Προφήταις ἀνεβόων·

**Ἀλληλούϊα.**

Νεφέλη φωτεινή σε, ἐπεσκίασε Σῶτερ ἐν ὄρει τῷ ἁγίῳ ἀφράστως, καί ὁ Πατήρ σε ἀγαπητόν, Υἱόν ἄνωθεν Χριστέ ἐμαρτύρησεν, ἡμεῖς δέ μετά φόβου σοι, λατρεύοντες πιστῶς βοῶμεν·
Δόξα φωτός χορηγέ ἀΰλου

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα ζωῆς παροχεῦ ἀλήκτου
Δόξα τῷ πηγάζοντι φῶς ὑπερκόσμιον
Δόξα τῷ παρέχοντι χάριν φωτόμορφον
Δόξα ᾧπερ μεμαρτύρηκεν οὐρανόθεν ὁ Πατήρ
Δόξα τῇ σῇ ἀγαθότητι ἀκατάληπτε Σωτήρ
Δόξα τῷ ἀνελθόντι ἐν Θαβώρ σύν τοῖς Μύσταις
Δόξα τῷ φῶς διδόντι καθαραῖς ἐν καρδίαις
Δόξα Χριστῷ τῷ πάντων δεσπόζοντι
Δόξα φωτί ἀρρήτῳ ἐκλάψαντι
Δόξα τῷ φέγγει Χριστέ τῆς σῆς δόξης
Δόξα τῷ φάει τῆς θείας σου αἴγλης

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Ξένον θέαμα ὤφθη, τῇ σῇ Μεταμορφώσει, Χριστέ τοῖς ἱεροῖς Ἀποστόλοις· τό γάρ πρόσωπον εἶδον τό σόν, καί τά ἱμάτιά σου ἐξαστράπτοντα, καί πεσόντες ἐπί τῆς γῆς, ἐν θάμβει πολλῷ ἀνεβόων·

**Ἀλληλούϊα.**

Ὅλον σε θεωροῦντες, λάμποντα ὑπέρ φύσιν, οἱ Θεῖοι Μαθηταί ἐν τῷ ὄρει, ἐξίσταντο τῇ θέᾳ Σωτήρ, καί τῆς ἀρρήτου ἐτρύφων λαμπρότητος, τά θεῖα μεγαλεῖά σου, δοξάζοντες καί ἐκβοῶντες·
Δόξα Χριστέ τοῖς σοῖς μεγαλείοις
Δόξα τοῖς θείοις σου θαυμασίοις



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα τῷ ἀπείρῳ φωτί τοῦ προσώπου σου
Δόξα τῇ ἐκφάνσει τοῦ κάλλους τῆς δόξης σου
Δόξα Σῶτερ Ὑπεράγαθε τῇ ἁγίᾳ σου βουλῇ
Δόξα ἅμα καί προσκύνησις τῷ ἀκτίστῳ σου φωτί
Δόξα τῇ ἐν σαρκί σου ἐπί γῆς πολιτείᾳ
Δόξα τῇ ὑπέρ λόγον τῆς μορφῆς φωταυγείᾳ
Δόξα τῇ σῇ ἀνάρχῳ Θεότητι
Δόξα τῇ σῇ ἀκτίστῳ λαμπρότητι
Δόξα τῇ θείᾳ ἐπί ὄρους ἐκλάμψει
Δόξα τῇ ξένῃ φωτός σου ἐκφάνσει

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Πέτρον καί Ἰωάννην, καί Ἰάκωβον ἅμα, ὁμοῦ καί Μωϋσῆν καί Ἠλίαν, τῆς σῆς Μεταμορφώσεως Χριστέ, ὡς νόμου ἀρχηγός καί τῆς χάριτος, κοινωνούς Σῶτερ ἔδειξας, ὡς τῶν ὅλων Θεῷ βοῶντας·

**Ἀλληλούϊα.**

Ῥημάτων Μωϋσέως, καί Ἠλία Οἰκτίρμον, οἱ σοί Μαθηταί ἐνωτισθέντες, οἵτινες τήν ἔξοδον τήν σήν, ἥν πληροῦν ἐν Ἰερουσαλήμ ἔλεγον, θάμβει πολλῷ συνείχοντο, καί μετά φόβου σοι ἐβόων·
Δόξα Οἰκτίρμον τῇ σῇ πτωχείᾳ
Δόξα τῇ θείᾳ σου εὐσπλαγχνίᾳ
Δόξα τῷ πληροῦντι τά πάλαι κηρύγματα



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα κυροῦντι τά νόμου αἰνίγματα
Δόξα τῷ ἐξανατείλαντι οἷα Λόγος ἐκ Πατρός
Δόξα τῷ σάρκα φορέσαντι ἐκ Παρθενικῆς γαστρός
Δόξα τῇ σῇ σαρκώσει δι' ἧς ἔσωσας κόσμον
Δόξα τῷ κόσμῳ δόντι τόν τῆς χάριτος νόμον
Δόξα φωτός τῇ λάμψει σου Κύριε
Δόξα τοῖς σοῖς δωρήμασιν Ἅγιε
Δόξα τοῖς σοῖς φωτισμοῖς πρός ἀνθρώπους
Δόξα ταῖς σαῖς ἀστραπαῖς πρός Ἀγγέλους

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Σέλας τό τοῦ ἡλίου, ἡ ἀσύγκριτος λάμψις, ἥν ἤστραψας ἐν τῷ Θαβωρίῳ, ὡς ἀληθῶς ἔκρυψε Σωτήρ, καί τήν κεκρυμμένην σου Θεότητα, ἐν δυνάμει πᾶσιν ἔδειξε, τοῖς εὐλαβῶς σοι ἐκβοῶσιν·

**Ἀλληλούϊα.**

Τῆς ἀχράντου μορφῆς σου, ἡ ὑπέρφωτος αἴγλη καί τῶν ἱματίων ἡ λαμπρότης, εἰρήνην χαράν καί φωτισμόν, καί γλυκασμόν παρέχει ὑπερκόσμιον, τοῖς λατρευταῖς σου Κύριε, τοῖς πίστει καί πόθῳ βοῶσι·
Δόξα τῇ σῇ Χριστέ φωταυγείᾳ
Δόξα φωτός σου τῇ χορηγίᾳ
Δόξα τῇ λαμπάδι τῆς σῆς ἐπιλάμψεως
Δόξα ταῖς ἀκτῖσι τῆς σῆς ὡραιότητος



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα τῷ ὑπέρ κατάληψιν καταυγάσαντι ἡμᾶς
Δόξα τῷ σαρκός προσλήματι σώσαντι
τούς ἐξ Ἀδάμ
Δόξα τῇ ἀνεκφράστῳ τῆς μορφῆς σου ἐκλάμψει
Δόξα τῇ ἀπορρήτῳ τοῦ σοῦ σώματος φαύσει
Δόξα Χριστέ τῇ Μεταμορφώσει σου
Δόξα τῇ θείᾳ Λόγε σαρκώσει σου
Δόξα τῷ σώσαντι κόσμον ἐκ πλάνης
Δόξα τῷ λύσαντι δεσμά ἀπάτης

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Ὕμνησαν οἱ διττοί σου, Φωτοδότα Προφῆται, ὁμοῦ σύν τοῖς τρισίν Ἀποστόλοις, ὡς εἶδον τήν ἔκλαμψιν τήν σήν, τῆς σῆς φωτοχυσίας τήν λαμπρότητα, δι' ἧς ἡμᾶς ἐθέωσας, καί ἐλάμπρυνας ἐκβοῶντας·

**Ἀλληλούϊα.**

Φῶς ὑπέρφωτον πέλων, ἐκ Πατρός προανάρχου, συνάναρχε καί σύνθρονε, Λόγε, ἐν ὁμοιώματι τῶν βροτῶν, λάμψας ἐν τῷ Θαβώρ τήν σήν Θεότητα, ὡς ἐχώρουν ὑπέδειξας, τοῖς Ἀποστόλοις σου βοῶσι·
Δόξα Υἱῷ Πατρός τοῦ ἀνάρχου
Δόξα Χριστῷ Σωτῆρι τοῦ κόσμου
Δόξα τῷ πηγάζοντι φῶς ὑπέρ ἔννοιαν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα τῷ παρέχοντι τήν θείαν εὐμένειαν
Δόξα τῷ ἐν ὄρει λάμψαντι τῷ Θαβώρ θεαρχικῶς
Δόξα τῷ ἡμᾶς λαμπρύναντι κοινωνίᾳ τοῦ φωτός
Δόξα φωτοχυσίᾳ τῇ θείᾳ σου Φωτοδότα
Δόξα τῇ παμφαεῖ σου δωρεᾷ Ζωοδότα
Δόξα Χριστέ Πατρός τό ἀπαύγασμα
Δόξα παντός τοῦ κόσμου ἐξίλασμα
Δόξα τῷ πάντων Θεῷ καί Σωτῆρι
Δόξα ἡμῶν τῷ εὐσπλάγχνῳ Δεσπότῃ

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Χαίρει πᾶσα ἡ φύσις, τῶν ἀνθρώπων Οἰκτίρμον, τῇ σῇ παμφαεῖ Μεταμορφώσει· δι' αὐτῆς γάρ σκότους καί φθορᾶς, ἀπαλλαγεῖσα πίστει προσῳκείωται, τῷ προανάρχῳ Πατρί σου καί συναϊδίῳ, βοῶσα·

**Ἀλληλούϊα.**

Ψάλλοντες ἐν αἰνέσει, τά θεῖα μεγαλεῖα, τῆς σῆς Μεταμορφώσεως Σῶτερ, ὑμνοῦμεν τήν πολλήν σου πρός ἡμᾶς, ἀγαθότητα εὔσπλαγχνε Κύριε, δι' ἧς φωτίζεις ἅπαντας, καί διασώζεις τούς βοῶντας·
Δόξα σοι ἄναρχε Φωτοδότα
Δόξα σοι εὔσπλαγχνε Ζωοδότα
Δόξα τῷ φθορᾶς ἡμᾶς ἀπαλλάξαντι



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα τῷ λαμπρῶς ἡμᾶς καταυγάσαντι
Δόξα τῷ ἡμᾶς ὑψώσαντι πρός τήν πρώτην
καλλονήν
Δόξα τῷ βροτῶν θεώσαντι τήν πεσοῦσαν
πρὶν μορφήν
Δόξα τῷ ἐν τῷ ὄρει λάμψαντι παραδόξως
Δόξα τῷ χορηγοῦντι χάριν ἡμῖν ἀφράστως
Δόξα τῷ βρύζοντι θεῖον ἔλεος
Δόξα τῷ στήσαντι ὥραν κρίσεως
Δόξα σοι Σῶτερ κἀμοῦ σωτηρία
Δόξα νοός μου ἡ φωταγωγία

**Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

Ὦ Ὑπέρθεε Λόγε, Φωτοδότα Σωτήρ μου, ἁπάντων ὁ Θεός καί Δεσπότης (ἐκ γ´) ἐν τῷ φωτί τῶν σῶν ἐντολῶν, τάς ψυχάς ἡμῶν ὁδήγει δεόμεθα, ὡς ἄν τῆς ἄνω δόξης σου, μέτοχοι ὀφθῶμεν βοῶντες·

**Ἀλληλούϊα.**

**Καί αὖθις τό Κοντάκιον.**
Ἦχος πλ. δ´. *Τῇ ὑπερμάχῳ...*

Μετεμορφώθης ἐν Θαβώρ ὑπέρ κατάληψιν
Καὶ τῆς σῆς δόξης τήν λαμπρότητα ὑπέδειξας
Τοῖς Ἁγίοις Ἀποστόλοις καί Μαθηταῖς σου.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ἀλλά δίδου καί ἡμῖν τό φῶς σου Κύριε
Τοῖς ὑμνοῦσί σου τήν θείαν Μεταμόρφωσιν
Καί βοῶσί σοι, **Δόξα Σῶτερ τῇ ἐλλάμψει σου.**

## Δίστιχον

Φωτί με καταύγασον θείῳ σου Σῶτερ
Γεράσιμον σπεύδοντα τοῖς οἰκτιρμοῖς σου.





ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

*Ἐξώφυλλο*: Μεταμόρφωσις Χριστοῦ
16ος αἰών. Σκευοφυλάκιον Ἱ.Μ. Παντοκράτορος
*Ὀπισθόφυλλο*: Ἄποψις
**Ἱ.Μ. Παντοκράτορος**

© Ἱερά, Κοινοβιακή Μονή Παντοκράτορος, Ἅγιον Ὄρος, 1998

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

